Ion quizzes Creusa about her husband and their reasons for consulting the oracle

Ἴων	πόσις δὲ τίς σ' ἔγημ' Ἀθηναίων, γύναι;
Κρέουσα	οὐκ ἀστός, ἀλλ' ἐπακτὸς ἐξ ἄλλης χθονός.
Ἴων	τίς; εὐγενῆ νιν δεῖ πεφυκέναι τινά.
Κρέουσα	Ξοῦθος, πεφυκὼς Αἰόλου Διός τ' ἄπο.
Ἴων	καὶ πῶς ξένος σ' ὢν ἔσχεν οὖσαν ἐγγενῆ;
Κρέουσα	Εὔβοι' Ἀθήναις ἔστι τις γείτων πόλις...
Ἴων	ὅροις ὑγροῖσιν, ὡς λέγουσ', ὡρισμένη.
Κρέουσα	ταύτην ἔπερσε Κεκροπίδαις κοινῷ δορί.
Ἴων	ἐπίκουρος ἐλθών; κᾆτα σὸν γαμεῖ λέχος;
Κρέουσα	φερνάς γε πολέμου καὶ δορὸς λαβὼν γέρας.
Ἴων	σὺν ἀνδρὶ δ' ἥκεις ἢ μόνη χρηστήρια;
Κρέουσα	σὺν ἀνδρί. σηκοὺς δ' ἐκστρέφει Τροφωνίου.
Ἴων	πότερα θεατὴς ἢ χάριν μαντευμάτων;
Κρέουσα	κείνου τε Φοίβου θ' ἓν θέλων μαθεῖν ἔπος.
Ἴων	καρποῦ δ' ὕπερ γῆς ἥκετ', ἢ παίδων πέρι;
Κρέουσα	ἄπαιδές ἐσμεν, χρόνι' ἔχοντ' εὐνήματα.
Ἴων	οὐδ' ἔτεκες οὐδὲν πώποτ', ἀλλ' ἄτεκνος εἶ;
Κρέουσα	ὁ Φοῖβος οἶδε τὴν ἐμὴν ἀπαιδίαν.
Ἴων	ὦ τλῆμον, ὡς τἄλλ' εὐτυχοῦσ' οὐκ εὐτυχεῖς.

Euripides Ion 289-307

1B 1 2005

φερναί, αἱ - dowry

σηκός, ὁ - precinct